# ΠΕΡΙ ΤΩΝ ΣΟΦΙΣΤΙΚΩΝ ΕΛΕΓΧΩΝ 164a

*Περὶ δὲ τῶν σοφιστικῶν ἐλέγχων καὶ τῶν φαινομένων μὲν ἐλέγχων ὄντων δὲ παραλογισμῶν ἀλλ' οὐκ ἐλέγχων λέγωμεν ἀρξάμενοι κατὰ φύσιν ἀπὸ τῶν πρώτων.*

*Ὅτι μὲν οὖν οἱ μὲν εἰσὶ συλλογισμοί, οἱ δ' οὐκ ὄντες δοκοῦσι, φανερόν. ὥσπερ γὰρ καὶ ἐπὶ τῶν ἄλλων τοῦτο γίνεται διά τινος ὁμοιότητος, καὶ ἐπὶ τῶν λόγων ὡσαύτως ἔχει. καὶ γὰρ τὴν ἕξιν οἱ μὲν ἔχουσιν εὖ, οἱ δὲ φαίνονται, φυλετικῶς φυσήσαντες καὶ ἐπισκευάσαντες αὑτούς, καὶ καλοὶ οἱ μὲν διὰ κάλλος, οἱ δὲ φαίνονται κομμώσαντες* 164b *αὑτούς. ἐπί τε τῶν ἀψύχων ὡσαύτως· καὶ γὰρ τούτων τὰ μὲν ἄργυρος τὰ δὲ χρυσός ἐστιν ἀληθῶς, τὰ δ' ἔστι μὲν οὔ, φαίνεται δὲ κατὰ τὴν αἴσθησιν, οἷον τὰ μὲν λιθαργύρινα καὶ τὰ καττιτέρινα ἀργυρᾶ, τὰ δὲ χολοβάφινα χρυσᾶ. τὸν αὐτὸν δὲ τρόπον καὶ συλλογισμὸς καὶ ἔλεγχος ὁ μὲν ἔστιν, ὁ δ' οὐκ ἔστι μέν, φαίνεται δὲ διὰ τὴν ἀπειρίαν· οἱ γὰρ ἄπειροι ὥσπερ ἂν ἀπέχοντες πόρρωθεν θεωροῦσιν. ὁ μὲν γὰρ συλλογισμὸς ἐκ τινῶν ἐστι τεθέντων ὥστε λέγειν ἕτερον* 165a *ἐξ ἀνάγκης τι τῶν κειμένων διὰ τῶν κειμένων, ἔλεγχος δὲ συλλογισμὸς μετ' ἀντιφάσεως τοῦ συμπεράσματος. οἱ δὲ τοῦτο ποιοῦσι μὲν οὔ, δοκοῦσι δὲ διὰ πολλὰς αἰτίας· ὧν εἷς τόπος εὐφυέστατός ἐστι καὶ δημοσιώτατος ὁ διὰ τῶν ὀνομά-*

---

Inscr. ex ABucfi (*τῶν* om. i) Vat. 242 cf. M 2, 1 *σοφιστικοὶ ἔλεγχοι* CT Vat. 244 Bo M 1, 8. 16 2, 2 cf. ind. libr. Arist. 1468, 125 1471, 29 nonum Topicorum hunc librum recte fecisse videtur Waitz II 528 cf. Ind. Arist. 102a 48 sq. Zeller II 2, 73, 1 Susemihl, Jb. 1883, 1 p. 16 in duos libros divid. Laur. LXXXIX 77 cf. ind. 1464, 44 **164a 20** *μὲν* om. $M^c$ **21** *ἀλλ'* om. u *καὶ Π* **21. 22** *λέγομεν* T*Π* **25** *τινα ὁμοιότητα* $M^c$ **26** post *φαίνονται* add. *εὐεκτικοὶ* C **27** *ἐπισκευάζοντες* $M^c$ ‖ *αὐτούς* B, pr. AC *ἑαυτούς* corr. C, Tu *Π* $M^c$ **164b 20** *κομώσαντες* A **21** *ἑαυτούς* CTu ‖ *ἀψύχων* AB Tu $M^c$ Bo *μετάλλων* C **24** $^1$*τὰ* om. CTu (non om. $M^c$) ‖ *κασσιτέρινα* C*Π* **27** *ἂν* om. *Π* (non om. $M^c$) ‖ *πόρρω* $M^c$ **165a 1** *συλλέγειν* corr. T *συνάγειν* B, at cf. 168a 22 **2** *διὰ τῶν κειμένων* B Bo om. cett. tr. **5** *ἐστι* om. Tu Bo